# E03.07 Menexenos 239d-240c

1 ἔστιν δὲ τούτων ὧν λέγω [239d] πρῶτα·
2 Πέρσας ἡγουμένους τῆς Ἀσίας *Πέρσας ist AO zu ἐκώλυον; ἡγουμένους = PC „Als die Perser ... beherrschten“*
3 καὶ *δουλοῦσθαι* τὴν Εὐρώπην *ἐκώλυον* οἱ τῆσδε τῆς χώρας ἔκγονοι, γονῆς δὲ ἡμέτεροι,
*καί hier „auch“ – δέ hier „und“*
4 ὧν καὶ δίκαιον καὶ χρὴ πρῶτον μεμνημένους ἐπαινέσαι αὐτῶν τὴν ἀρετήν.
*ὧν: Gen.Objekt zu <ἡμᾶς> μεμνημένους und am besten als relat.Anschluss zu übersetzen. δίκαιον: ergänze ἐστίν*
5 δεῖ δὴ αὐτὴν *ὁρᾶν*, εἰ μέλλει τις καλῶς ἐπαινεῖν, ἐν ἐκείνῳ τῷ χρόνῳ γενόμενον λόγῳ,
*ἐν ἐκείνῳ τῷ χρόνῳ γενόμενον „in jener Zeit seiend/ in jene Zeit sich versetzend“ PC zu gedachtem Subj.Akk. „man“*
6 ὅτε πᾶσα μὲν ἡ Ἀσία ἐδούλευε τρίτῳ ἤδη βασιλεῖ,
7 ὧν ὁ μὲν πρῶτος Κῦρος ἐλευθερώσας Πέρσας τοὺς αὐτοῦ πολίτας
8 τῷ αὐτοῦ φρονήματι [239e] ἅμα καὶ τοὺς δεσπότας Μήδους ἐδουλώσατο
9 καὶ τῆς ἄλλης Ἀσίας μέχρι Αἰγύπτου ἦρξεν,
10 ὁ δὲ ὑὸς Αἰγύπτου τε καὶ Λιβύης ὅσον οἷόν τ᾽ ἦν ἐπιβαίνειν, *Αἰγύπτου τε καὶ Λιβύης: erg. ἦρξεν*
11 τρίτος δὲ Δαρεῖος πεζῇ μὲν μέχρι Σκυθῶν τὴν ἀρχὴν ὡρίσατο,
12 ναυσὶ δὲ τῆς τε [240a] θαλάττης ἐκράτει καὶ τῶν νήσων,
13 ὥστε μηδὲ ἀξιοῦν ἀντίπαλον αὐτῷ μηδένα εἶναι· *ὥστε: hier mit dem AcI konstruiert; im Dt. „so dass“*
14 αἱ δὲ γνῶμαι δεδουλωμέναι ἁπάντων ἀνθρώπων ἦσαν· *δεδουλωμέναι ... ἦσαν: 3.Pl.Ind.Perf.P*
15 οὕτω πολλὰ καὶ μεγάλα καὶ μάχιμα γένη καταδεδουλωμένη ἦν ἡ Περσῶν ἀρχή. *καταδεδουλωμένη ἦν: 3.Sg.Ind.Perf.M*

16 αἰτιασάμενος δὲ Δαρεῖος ἡμᾶς τε καὶ Ἐρετριᾶς, Σάρδεσιν ἐπιβουλεῦσαι προφασιζόμενος,
17 πέμψας μυριάδας μὲν πεντήκοντα ἔν τε πλοίοις καὶ ναυσίν, ναῦς δὲ τριακοσίας,
*Die Zahl von 500.000 Mann u. 300 Kiegsschiffen ist weit übertrieben. Das ist athenische Staatspropaganda.*
18 Δᾶτιν δὲ ἄρχοντα *ἐκέλευσε* ἥκειν ἄγοντα Ἐρετριᾶς καὶ Ἀθηναίους, *ἥκω ἄγων hier „jnd. führend kommen/ jdn.herbringen“*
19 εἰ *βούλεται* τὴν [240b] ἑαυτοῦ κεφαλὴν ἔχειν·
20 ὁ δὲ πλεύσας εἰς Ἐρέτριαν ἐπ᾽ ἄνδρας
21 οἳ τῶν τότε Ἑλλήνων ἐν τοῖς εὐδοκιμώτατοι ἦσαν τὰ πρὸς τὸν πόλεμον καὶ οὐκ ὀλίγοι, *ἐν τοῖς <χρόνοις> „damals“*
22 τούτους ἐχειρώσατο μὲν ἐν τρισὶν ἡμέραις, διηρευνήσατο δὲ αὐτῶν πᾶσαν τὴν χώραν,
23 *ὥστε μηδεὶς ἀπέφυγε*, τοιούτῳ τρόπῳ·
24 ἐπὶ τὰ ὅρια ἐλθόντες τῆς Ἐρετρικῆς οἱ στρατιῶται αὐτοῦ, ἐκ θαλάττης εἰς θάλατταν διαστάντες,
25 συνάψαντες τὰς χεῖρας διῆλθον ἅπασαν τὴν [240c] χώραν,
26 ὥστ᾽ *ἔσχον* τῷ βασιλεῖ εἰπεῖν ὅτι οὐδεὶς σφᾶς *ἀποπέφευγε*.
27 τῇ δ᾽ αὐτῇ διανοίᾳ κατηγάγοντο ἐξ Ἐρετρίας εἰς Μαραθῶνα,
28 ὡς ἕτοιμόν σφισιν ὂν καὶ Ἀθηναίους ἐν τῇ αὐτῇ ταύτῃ ἀνάγκῃ ζεύξαντας Ἐρετριεῦσιν ἄγειν.
*ὡς ἕτοιμόν σφισιν ὂν: ὡς + Part „wie wenn/ als ob“ - ἕτοιμον ὄν: adv.Akk. > „wie wenn es ihnen {bereit} ein Leichtes sei“ - Ἐρετριεῦσιν „wie die Eretrier“*
29 τούτων δὲ τῶν μὲν πραχθέντων, τῶν δ᾽ ἐπιχειρουμένων *τούτων τῶν μὲν ..., τῶν δέ: Subj.Gen. eines GA „als dieses teils ... teils“*
30 οὔτ᾽ Ἐρετριεῦσιν ἐβοήθησεν Ἑλλήνων οὐδεὶς οὔτε Ἀθηναίοις πλὴν Λακεδαιμονίων
31 οὗτοι δὲ τῇ ὑστεραίᾳ τῆς μάχης ἀφίκοντο
32 οἱ δ᾽ ἄλλοι πάντες ἐκπεπληγμένοι, ἀγαπῶντες τὴν [240d] ἐν τῷ παρόντι σωτηρίαν, ἡσυχίαν ἦγον.

ἔστιν δὲ τούτων ὧν λέγω [239d] πρῶτα: Πέρσας ἡγουμένους τῆς Ἀσίας καὶ δουλουμένους τὴν Εὐρώπην ἔσχον οἱ τῆσδε τῆς χώρας ἔκγονοι, γονῆς δὲ ἡμέτεροι, ὧν καὶ δίκαιον καὶ χρὴ πρῶτον μεμνημένους ἐπαινέσαι αὐτῶν τὴν ἀρετήν. δεῖ δὴ αὐτὴν ἰδεῖν, εἰ μέλλει τις καλῶς ἐπαινεῖν, ἐν ἐκείνῳ τῷ χρόνῳ γενόμενον λόγῳ, ὅτε πᾶσα μὲν ἡ Ἀσία ἐδούλευε τρίτῳ ἤδη βασιλεῖ, ὧν ὁ μὲν πρῶτος Κῦρος ἐλευθερώσας Πέρσας τοὺς αὑτοῦ πολίτας τῷ αὑτοῦ φρονήματι [239e] ἅμα καὶ τοὺς δεσπότας Μήδους ἐδουλώσατο καὶ τῆς ἄλλης Ἀσίας μέχρι Αἰγύπτου ἦρξεν, ὁ δὲ ὑὸς Αἰγύπτου τε καὶ Λιβύης ὅσον οἷόν τ᾽ ἦν ἐπιβαίνειν, τρίτος δὲ Δαρεῖος πεζῇ μὲν μέχρι Σκυθῶν τὴν ἀρχὴν ὡρίσατο, ναυσὶ δὲ τῆς τε [240a] θαλάττης ἐκράτει καὶ τῶν νήσων, ὥστε μηδὲ ἀξιοῦν ἀντίπαλον αὑτῷ μηδένα εἶναι: αἱ δὲ γνῶμαι δεδουλωμέναι ἁπάντων ἀνθρώπων ἦσαν: οὕτω πολλὰ καὶ μεγάλα καὶ μάχιμα γένη καταδεδουλωμένη ἦν ἡ Περσῶν ἀρχή. αἰτιασάμενος δὲ Δαρεῖος ἡμᾶς τε καὶ Ἐρετριᾶς, Σάρδεσιν ἐπιβουλεῦσαι προφασιζόμενος, πέμψας μυριάδας μὲν πεντήκοντα ἔν τε πλοίοις καὶ ναυσίν, ναῦς δὲ τριακοσίας, Δᾶτιν δὲ ἄρχοντα, εἶπεν ἥκειν ἄγοντα Ἐρετριᾶς καὶ Ἀθηναίους, εἰ βούλοιτο τὴν [240b] ἑαυτοῦ κεφαλὴν ἔχειν: ὁ δὲ πλεύσας εἰς Ἐρέτριαν ἐπ᾽ ἄνδρας οἳ τῶν τότε Ἑλλήνων ἐν τοῖς εὐδοκιμώτατοι ἦσαν τὰ πρὸς τὸν πόλεμον καὶ οὐκ ὀλίγοι, τούτους ἐχειρώσατο μὲν ἐν τρισὶν ἡμέραις, διηρευνήσατο δὲ αὐτῶν πᾶσαν τὴν χώραν, ἵνα μηδεὶς ἀποφύγοι, τοιούτῳ τρόπῳ: ἐπὶ τὰ ὅρια ἐλθόντες τῆς Ἐρετρικῆς οἱ στρατιῶται αὐτοῦ, ἐκ θαλάττης εἰς θάλατταν διαστάντες, συνάψαντες τὰς χεῖρας διῆλθον ἅπασαν τὴν [240c] χώραν, ἵν᾽ ἔχοιεν τῷ βασιλεῖ εἰπεῖν ὅτι οὐδεὶς σφᾶς ἀποπεφευγὼς εἴη. τῇ δ᾽ αὐτῇ διανοίᾳ κατηγάγοντο ἐξ Ἐρετρίας εἰς Μαραθῶνα, ὡς ἕτοιμόν σφισιν ὂν καὶ Ἀθηναίους ἐν τῇ αὐτῇ ταύτῃ ἀνάγκῃ ζεύξαντας Ἐρετριεῦσιν ἄγειν. τούτων δὲ τῶν μὲν πραχθέντων, τῶν δ᾽ ἐπιχειρουμένων οὔτ᾽ Ἐρετριεῦσιν ἐβοήθησεν Ἑλλήνων οὐδεὶς οὔτε Ἀθηναίοις πλὴν Λακεδαιμονίων οὗτοι δὲ τῇ ὑστεραίᾳ τῆς μάχης ἀφίκοντο οἱ δ᾽ ἄλλοι πάντες ἐκπεπληγμένοι, ἀγαπῶντες τὴν [240d] ἐν τῷ παρόντι σωτηρίαν, ἡσυχίαν ἦγον.